πεμψάμενος ὡς ἕξων διὰ νυκτός, εἶτα προσιοῦσαν ἔκ τινος
ταραχῆς καὶ ὑποψίας ἀνελὼν ἑώρα πολλάκις ἐν τοῖς
ὕπνοις λέγουσαν αὐτῷ

'βαῖνε δίκης ἆσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.'

οὐ παυομένου δὲ τοῦ φάσματος, ὥς ἔοικε, πλεύσας ἐπὶ τὸ
ψυχοπομπεῖον εἰς Ἡράκλειαν ἱλασμοῖς τισι καὶ χοαῖς
ἀνεκαλεῖτο τὴν ψυχὴν τῆς κόρης· ἐλθοῦσα δ' εἰς ὄψιν εἶπεν
ὅτι παύσεται τῶν κακῶν, ὅταν ἐν Λακεδαίμονι γένηται·
γενόμενος δ' εὐθὺς ἐτελεύτησεν. (**11.**) ὥστ', εἰ μηδὲν ἔστι
τῇ ψυχῇ μετὰ τὴν τελευτὴν ἀλλὰ καὶ χάριτος πέρας ἁπά- D
σης καὶ τιμωρίας ὁ θάνατος, μᾶλλον ἄν τις εἴποι τοῖς ταχὺ
κολαζομένοις τῶν πονηρῶν καὶ ἀποθνήσκουσι μαλακῶς
καὶ ῥαθύμως χρῆσθαι τὸ δαιμόνιον.

Καὶ γὰρ εἰ μηδὲν ἄλλο φαίη τις ἐν τῷ βίῳ καὶ
τῷ χρόνῳ τὸν πονηρὸν πάσχειν κακόν, ἀλλ' ἐξελεγ-
χομένης που τῆς ἀδικίας, πράγματος ἀκάρπου καὶ
ἀχαρίστου καὶ χρηστὸν οὐδὲν οὐδ' ἄξιον σπουδῆς ἀνα-
φέροντος ἐκ πολλῶν καὶ μεγάλων ἀγώνων ἡ αἴσθησις
αὐτῶν ἀνατρέπει τὴν ψυχήν. οἷον ἱστοροῦσι δήπου
Λυσίμαχον ὑπὸ δίψης ἐκβιασθέντα καὶ παραδόντα τοῖς
Γέταις τὸ σῶμα καὶ τὴν δύναμιν, ὡς ἔπιεν ὑποχεί-
ριος γενόμενος, εἰπεῖν 'φεῦ τῆς ἐμῆς κακίας, ὃς δι' E
ἡδονὴν οὕτω βραχεῖαν ἐστέρημαι βασιλείας τηλικαύτης.'
καίτοι γε πρὸς φυσικὴν πάθους ἀνάγκην ἀντιβῆναι παγχά-
λεπόν ἐστιν· ὅταν δ' ἄνθρωπος ἢ χρημάτων ἕνεκα πλεονε-
ξίας ἢ φθόνῳ πολιτικῆς δόξης καὶ δυνάμεως ἢ δι' ἡδονήν